

Τῇ 11.η ἱσταμένου, ὥρᾳ 6.η Μ. Μ., ἐν τῇ νεαρᾷ ἡλικίᾳ ἐτῶν 34, μετέβη εἰς ἄλλην ζωὴν ἡ Ἀδαμαντίνη, θυγάτηρ τοῦ ποτὲ Κόμητος Θεοδώρου Τριβόλου καὶ σύζυγος τοῦ Κυρίου Κωνσταντίνου Κεφαλᾶ. — Ἀρετῇ κεκοσμημένη, δῶρον ἦν τιμαλφὲς τοῖς συγγενέσιν, ἀνεκτίμητον τῷ συζύγῳ, — σεμνότητος πλήρης καὶ χάριτος, συνέσει διακρινομένη καὶ εὐσεβείᾳ, πάντων τὴν ὑπόληψιν προσεκτήσατο, καὶ ὁμόθυμον τὴν εὐμένειαν. Στερηθεῖσα ἐκ σπαργάνων τῆς προαπελθούσης Μητρὸς, τὰς ἀρετὰς ἐθήλασε τῆς πολυτίμου Μητρομήτορος αὐτῆς Αἰκατερίνης Θεοτόκη, ἐκείνας δὲ ταὐτοχρόνως τῆς παραδειγματικῆς Μητρυιᾶς αὐτῆς Πιερίνης Νοστράνου, ἣ καὶ ὡς ἴδιον τέκνον τοσούτῳ ἐξαιρέτως καὶ ἀξιαγάστως ἀνέθρεψεν αὐτήν. Συζευχθεῖσα δὲ μετ' ἀγαθοῦ καὶ διακεκριμένου ἀνδρὸς εὐτυχῆ μὲν αὐτὸν κατέστησεν, ἠρέμα δὲ καὶ ἐν ἀθωότητι τὸν βίον διῆγεν· ὑπὸ ὀξείας νόσου προσβληθεῖσα αἴφνης ἀφηρπάσθη ἐκ τοῦ κόσμου τούτου· οὗ ἕνεκεν ἀλγοῦσι μὲν ἅπαντες· ὁ δὲ σύζυγος, ὁ τῆς ἰλύος γευσάμενος τοῦ ποτηρίου, ὡς ὁ Γάλλος Ἄναξ, ἐπιφωνεῖ « νῦν πρῶτον ἡ σύζυγος ἐλύπησέ με. » Ἡμεῖς δὲ τί εἴπωμεν; διδαχθέντες ὑπὸ τῶν ἔξω καὶ τῶν ἔσω ὅτι « ὃν Θεοὶ φιλοῦσι ἀποθνήσκει νέος. » Μενανδ., καὶ ὅτι « raptus est ne malitia » mutaret intellectum ejus, aut ne fictio deciperet animam illius, » Sap. c. 4. v. 11. μακαρίσωμεν αὐτήν· οὕτω οἱ μὲν Ῥωμαῖοι τοῦ ἀγαθοῦ τὸν θάνατον ἀνήγγελλον λέγοντες «Εἰδαιμονεῖ·» οἱ δὲ Ἕλληνες, πρὸς ὃ ἐξετίμων τελικὸν ἐνατενίζοντες ἀποτέλεσμα, καὶ τὴν ἰδίαν λέξιν θάνατον οἷα δὴ ἐξήγαγον «ἀπὸ ἄνω εἰς Θεὸν φευγόμενον, quasi dicat reducem sursum » ad Deum. » — Καὶ ὅτι ἐκείνη εἰς ἀληθῆ ἔδραμεν εὐδαιμονίαν καλῶς προῃσθάνετο, ὅτε ἡδεῖα ἐφαίνετο ἐνώπιον τοῦ θανάτου, ὡς ἦν ἐνώπιον τοῦ κόσμου — ὅτε ἀδιαλείπτως ἐκχέουσα στοργὴν τοῖς οἰκείοις, τῷ θανάτῳ ἄνευ φόβου ἐπέβλεπε, τῇ Θείᾳ ἐπερειδομένη ἐπαγγελίᾳ, — καὶ ὅτε ἐντελῶς πιστὴ ἀπέπτη, πρὸς ἀμοιβὴν, ἐπὶ τοῦ ὄρους Ἁγίου Σιὼν, εἰς, οὗ ἠξιώθη, ὑψηλὸν κατοικητήριον ἐν τῇ Οὐρανίᾳ Ἱερουσαλὴμ, ὅπου, ἀνεσπέρῳ φωτὶ, λάμπει ἡ σεμνότης, ἡ εἰρήνη, ὧν ἐπὶ γῆς ἐνέμετο, καὶ αἷς ὁ Θεὸς προσέθεσε τὸ ἄκρον τῆς ἐν οὐρανῷ ἀγαλλιάσεως, χορηγῶν « ἃ ὁ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν οὐκ ἀνέβη, — ἃ ἡτοίμασεν ὁ » Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Κορινθ. ἐπιστ. 2. Κεφαλ. 11. 5. 9. »

Ἐν Κερκύρᾳ τῇ 12 Σεπτεμβρίου 1868.

Α. ΘΕΟΤΟΚΗΣ.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ-ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ
ΣΥΛΛΟΓΗ Π. ΠΑΤΡΙΚΙΟΥ
ΑΙ.Σ5.ΦΙ.0053

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ